*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

*************************************************
******************


Δρος Χαραλάμπους Μ. Μπούσια

Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας


# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

# ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

# ΤΗΝ ΠΡΟΣΤΑΤΙΝ ΤΩΝ ΑΓΝΟΟΥΜΕΝΩΝ

# ΚΑΙ ΤΟΥ ΑΓΕΝΝΗΤΟΥ ΠΑΙΔΙΟΥ

## ΤΗΝ ΕΝ ΤΩ ΚΕΛΛΙΩ ΤΩΝ ΕΙΣΟΔΙΩΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ,

## ΕΝ ΚΑΡΥΑΙΣ ΑΓΙΟΥ ΟΡΟΥΣ

*

*

* * * * *

*

*


Ἀθῆναι 2009

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
# ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ
# ΤΗΝ ΠΡΟΣΤΑΤΙΝ ΤΩΝ ΑΓΝΟΟΥΜΕΝΩΝ
# ΚΑΙ ΤΟΥ ΑΓΕΝΝΗΤΟΥ ΠΑΙΔΙΟΥ
## ΤΗΝ ΕΝ ΤΩ͂ ΚΕΛΛΙΩ͂ ΤΩΝ ΕΙΣΟΔΙΩΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ,
## ΕΝ ΚΑΡΥΑΙΣ ΑΓΙΟΥ ΟΡΟΥΣ

Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

*****************************************
*****************

**Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον , μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·**

**Ἦχος δ´ . Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

**Ἀ**γνοουμένων ἐν τοῖς κλύδωσι βίου
καὶ ἐν πολέμοις κατωδύνοις προστάτιν,
ἁγνὴν Θεογεννήτορα, πιστοὶ ἐκτενῶς
μέλψωμεν καὶ πρόμαχον ἀγεννήτου παιδίου
κράζοντες· Πανύμνητε, ἴσθι φύλαξ ἐμβρύων
ἐμπεριστάτων, ὧν ψυχῶν κραυγαὶ
ἡμῶν εἰς ὦτα γεώδη οὐ φθάνουσι.

**Δόξα. Καὶ νῦν.**

**Ο**ὐ σιωπήσομεν ποτέ, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν´ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·**

**" Ἀγνοουμένων προστάτιδι προσπίπτω. Χ. Μ."**

**ᾨδὴ α´. Ὑγρὰν διοδεύσας.**

**Ἀ**πάντων προστάτις τῶν εὐσεβῶν
ὑπάρχεις, Παρθένε,
ὧν τὰ ἴχνη ἐπὶ τῆς γῆς
ἡμεῖς ἀγνοοῦμεν πέλεις, Μῆτερ,
καὶ ἀγεννήτων παιδίων, πανύμνητε.

**Γ**ηθόμενοι σπεύδομεν σὴν μορφὴν
ἀσπάσασθαι, Μῆτερ,
ἐν Καλύβῃ τῶν Καρυῶν
τῶν σῶν Εἰσοδίων, Θεοτόκε,
ἐν μήτραις ἔμβρυα πάντα φυλάττουσαν.

**Ν**ῦν ὕμνοις τιμῶντές σε μελιχροῖς,
σεμνὴ Θεοτόκε,
τὴν προστάτιν τὴν ἀκλινῆ
ἐν μάχαις ἀγνοουμένων βίου
σὴν ταχινὴν ἀρωγὴν ἐξαιτούμεθα.

**Ὀ**ρδὰς μαιευτήρων τῶν ἀσεβῶν
ἐκδίωξον τάχος
τῶν ἐμβρύων τῶν φονευτῶν
καὶ πάντων ἀμβλώσεις ἐκτελούντων
ἐν συνειδῷ ἐλαφρῷ, Μητροπάρθενε.

**ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

**Ο**ὐρανόθεν, Παρθένε,
ὑπὸ σεπτὴν σκέπην σου
τῶν ἀγνοουμένων τοὺς δήμους
σκέπε ἀείποτε,
καὶ τοὺς ἀδίκῳ χειρὶ
ἀποκτανθέντας ἐν τόπῳ
χλοερῷ ἀνάπαυσον,
Θεογεννήτρια.

**Ὑ**περεύχου προσφύγων
θερμῶν τῆς σῆς χάριτος
καὶ ἀγνοουμένων τὰ πλήθη
φρούρει ἀείποτε,
ἡ δυναμένη αὐτοὺς
ἐκ συμφορῶν προστατεῦσαι
πλὴν σοῦ καταφύγιον
ἄλλον οὐκ ἔχοντας.

**Μ**ητροπάρθενε Κόρη,
ἡ τὸν Χριστὸν τέξασα,
τῶν ἀγάμων πάντων ἐγγύων
ἴσθι ἀντίληψις
καὶ φῶς ἡμέρας ἰδεῖν
κυοφορούμενα βρέφη,
ἀγαθή, ἀξίωσον,
Θεογεννήτρια.

**Ἐ**φορῶσα μὴ παύσῃ
τοὺς συγγενεῖς, Δέσποινα,
τῶν ἀγνοουμένων ἐν μάχαις
καὶ περιστάσεσι
παραμυθοῦσα αὐτοὺς
τοὺς εὐλαβῶς προσκυνοῦντας
ἔκτυπον εἰκόνος σου
θείας ἐν Ἄθωνι.

**Π**ροστάτευσον
ἀγνοουμένους ἐν κλύδωσι καὶ πολέμοις
καὶ ἐν μήτραις τῶν γυναικῶν παιδία ἀγέννητα,
Παρθένε πανύμνητε, Θεοτόκε.

**Ἐ**πίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

**Π**ροστάτις θερμὴ ὑπάρχεις, Μητροπάρθενε,
ψυχῶν, ὧν φωνῶν ἀκοῦσαι οὐκ ἰσχύομεν,
τῶν ἐμβρύων, Δέσποινα,
καὶ τῶν ἐν πάσαις δειναῖς περιστάσεσιν
ἀγνοουμένων· ὅθεν σε φαιδρῶς
ὑμνοῦμεν ἀεί, Θεογεννήτρια.

**ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

**Ν**έκταρ δὸς προστασίας σου
τοῖς ἀγνοουμένοις πιεῖν, Μητρόθεε,
τοῖς οὐκ ἔχουσιν ἀντίληψιν

πλὴν σοῦ ἄλλην θείαν καὶ βοήθειαν.

Ὡς ἐμβρύων ὑπέρμαχον
καὶ ἐγγύων σκέπην καταφευγόντων σοι
ἔγνωμέν σε, ἀπειρόγαμε,
Κεχαριτωμένη Μητροπάρθενε.

Νικητρίας ἀνάδειξον
τὰς διανυούσας καλῶς τὸ στάδιον
τῆς κυήσεως, Μητρόθεε,
καὶ αὐτῶν πιστῶς φιλούσας ἔμβρυον.

Παραμύθησον, Ἄχραντε,
τῶν ἀγνοουμένων οἰκείους ἅπαντας
προσκυνοῦντας τὴν εἰκόνα σου
ἐν ταῖς Καρυαῖς, Θεογεννήτρια.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Ῥῦσαι ἀπειλῆς
ἐχθρικῆς, Θεογεννήτρια,
τοὺς χοροὺς ἀγνοουμένων καὶ αὐτοὺς
ὑγιεῖς καὶ ἀβλαβεῖς ἡμῖν κατάδειξον.

Ὄμβρισον ἡμῖν
ὑετὸν χαρᾶς, Μητρόθεε,
τοῖς ἐν θλίψεσιν οἰκέταις σου θερμοῖς
ἐξ οἰκείων προσφιλῶν ἐξαφανίσεως.

Στήριζε ἀεὶ
τὰς ἐγγύους, Μητροπάρθενε,
καὶ βοήθησον αὐταῖς ἀποτεκεῖν
ἐν αὐτῶν κοιλίαις ἔμβρυον σῇ χάριτι.

Τείχισον τῇ σῇ
προστασίᾳ πάντα ἔμβρυα
καὶ βοήθησον, Παρθένε, ἰατροῖς
ἀντιστῆναι, Θεοτόκε, ταῖς ἀμβλώσεσι.

**Ὠδὴ στ΄. Τὴν δέησιν.**

Ἀνάψυξον τὰς καρδίας δούλων σου
ἐκ τῆς θλίψεως τῶν ἀγνοουμένων

ἡμῶν οἰκείων καὶ φίλων ἐν μάχαις
ταῖς καθ’ ἡμέραν, Μητρόθεε ἄχραντε,
τῶν προσκυνούντων εὐλαβῶς
Καρυῶν ἐν Καλύβῃ σὸν ἔκτυπον.

**Τ**ὰ ἔμβρυα ἐν κοιλίαις, Δέσποινα,
μελλουσῶν αὐτῶν γενέσθαι μητέρων
ἀγάμων, Μῆτερ Θεοῦ, καὶ ἐγγάμων
ὑπὸ τὴν σκέπην τὴν θείαν σου τήρησον
καὶ σῶσον ἐκ τῆς ἀπειλῆς
παραλόγου αὐτὰ τῆς ἀμβλώσεως.

**Ἱ**κάνωσον ἀνευρεῖν, Παντάνασσα,
σοὺς οἰκέτας πάντας ἀγνοουμένους
ἐν τρικυμίαις, σεισμοῖς καὶ πολέμοις
καὶ ἀσινεῖς ἐπιστρέψαι ἀξίωσον
αὐτοὺς εἰς οἴκους πατρικούς,
εὐσυμπάθητε Μῆτερ τοῦ Κτίσαντος.

**Δ**υνάμεως σοῦ τῆς θείας ἔμπλησον
ἀδυνάτους, Μῆτερ, κυοφορούσας
φωνῆς ἐμβρύων αὐτῶν ἐπακοῦσαι
καὶ μὴ προβῆναι εἰς ἄνομον ἔκτρωσιν,
δι’ ἧς εἰς θάνατον φρικτὸν
ἄνευ λόγου αὐτὰ παραδίδονται.

**Π**ροστάτευσον
ἀγνοουμένους ἐν κλύδωσι καὶ πολέμοις
καὶ ἐν μήτραις τῶν γυναικῶν παιδία ἀγέννητα,
Παρθένε πανύμνητε, Θεοτόκε.

**Ἄ**χραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Αἴτησις καὶ τὸ Κοντάκιον.**

**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

**Ἀ**γνοουμένους ἀεὶ προστατεύουσαν
ἐν ναυαγίοις, σεισμοῖς, καταπτώσεσι
ἀεροπλοίων, δειναῖς περιστάσεσιν,
αἰχμαλωσίαις καὶ μάχαις τιμήσωμεν

πανευλαβῶς τὴν ἁγνὴν Μητροπάρθενον.

**Προκείμενον.**
Μνησθήσομαι τοῦ ὀνόματός Σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
**Στίχος.** Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

**Εὐαγγέλιον· Κατὰ Λουκᾶν (Κεφ. α´ 39 - 49, 56 ).**
Τῷ καιρῷ ἐκείνῳ ἀναστᾶσα Μαριὰμ μετὰ σπουδῆς ...

**Δόξα.**

Τῶν ἀγνοουμένων
προστάτιδος, Μητρός σου
ἐξάλειψόν μου, σῶτερ,
τὴν πληθὺν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

**Προσόμοιον. Ἦχος πλ. β´. Ὅλην ἀποθέμενοι.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Δεῦτε πάντες σπεύσωμεν
εἰς Εἰσοδίων Καλύβην
τῆς ἁγνῆς Θεόπαιδος,
πίστει κατασπάσασθαι
τὸ ἐκτύπωμα
θείας προστάτιδος
τῶν ἀγνοουμένων
ἐν πολέμοις, περιστάσεσι,
σεισμοῖς και κλύδωσι
θαλαττίοις καὶ βοήσωμεν·
Θεογεννήτρια,
ἀγεννήτων παίδων ὑπέρμαχε
καὶ ταχινὴ βοήθεια
τῶν ἀγνοουμένων, ὁδήγησον
τοὺς ἐμπεριστάτους
πρὸς ἔκβασιν αἰσίαν καὶ αὐτῶν

οἰκείους πρὸς ἀγαλλίασιν
ἑπομένην θλίψεως.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ἰατροὺς μαιευτῆρας
θανατοῦντας τὰ βρέφη,
φεῦ, τὰ ἀγέννητα
δι’ ἔργων παρανόμων
ἐκτρώσεων, Παρθένε,
Θεοτόκε, συνέτισον
καὶ δεῖξον προασπιστὰς
αὐτοὺς ζωῆς ἐμβρύων.

Πάντων ἀγνοουμένων
προστασία καὶ σκέπη,
Θεογεννήτρια,
μὴ παύσῃ δυσωποῦσα
ὑπὲρ τῶν σῶν προσφύγων
τὸν εὐΐλατον Τόκον σου
ἐκ τοῦ θανάτου φθορᾶς
ῥυόμενον σοὺς δούλους.

Ῥυπτικαῖς σου πρεσβείαις
καταφεύγομεν πάντες,
Θεογεννήτρια,
οἱ ἔχοντες οἰκείους
ἀγνοουμένους, Μῆτερ,
ἐκβοῶντες· Ἐπίστρεψον
αὐτοὺς ἡμῖν ἀσινεῖς
ἐκ τῆς περιπετείας.

Οὐ παυόμεθα πάντες
ἐκτενῶς ἀνυμνοῦντες
τὴν προστασίαν σου
πρὸς τοὺς ἀγνοουμένους,
δεινῶς ἐμπεριστάτους
καὶ παιδία ἀγέννητα,
Μῆτερ Χριστοῦ τοῦ Θεοῦ
ὑπερευλογημένη.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Σκέπε σοὺς δούλους
ἀσπαζομένους μορφήν σου,
τῆς προστάτιδος ἀγνοουμένων,
Κεχαριτωμένη,
ἐν Καρυῶν Καλύβῃ.

Παρθενομῆτορ,
ἀγνοουμένων προστάτις
ἀκλινὴς πέλεις καὶ ἀγεννήτων
παίδων, Θεοτόκε,
φρουρὸς καὶ ἀντιλήπτωρ.

Ἱκετηρίους
ἡμῶν εὐχὰς μὴ παρίδῃς
τῶν στενόντων ἐκ τῆς ἀπουσίας
τῶν ἀγνοουμένων
οἰκείων, Θεοτόκε.

Πορείαν δεῖξον
ἐλευθερίας σοῖς δούλοις
ἐν πολέμοις τοῖς ἀγνοουμένοις
χάριτί σου θείᾳ,
Κυρία Θεοτόκε.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Τῶν ἐν σεισμοῖς, πολέμοις,
ναυαγίοις, Μῆτερ,
καὶ συμφοραῖς τρυχομένων προσφύγων σου
ἴσθι προστάτις καῖ φύλαξ, Θεογεννήτρια.

Ὡράϊζε τὸν βίον
ταπεινῶν σου δούλων

σῇ ταχινῇ προστασίᾳ καὶ χάριτι,
ἀγνοουμένων, Παρθένε, φρουρὲ ἀνύστακτε.

Χαρᾶς ἡμῶν καρδίας
πλῆσον διὰ πάντων
ἐπιστροφῆς θαυμαστῆς τῶν ἐν κλύδωσιν
ἀγνοουμένων, Κυρία Θεογεννήτρια.

**Μ**ὴ παύσῃ ἀγεννήτων
προασπιζομένη
παιδίων, ὧν τῶν φωνῶν οὐκ ἀκούομεν
πρὸς τοῦ ἡλίου ἀκτίνων ἐν γῇ ἀπόλαυσιν.

Ἄξιόν ἐστι ... **καὶ τὰ παρόντα Μεγαλυνάρια·**

**Χ**αίροις, ἡ προστάτις, Μῆτερ Θεοῦ,
παίδων ἀγεννήτων,
ὑπερύμνητε Μαριάμ,
καὶ ἀγνοουμένων,
ἡ τὸν Χριστὸν ἀφράστως
γεννήσασα, Παρθένε
θεοχαρίτωτε.

**Δ**εῦτε προσκυνήσωμεν εὐλαβῶς
τὴν σεπτὴν εἰκόνα
ἐν Κελλίῳ τῶν Καρυῶν
θείων Εἰσοδίων
ἐν τῷ Ναῷ τῆς μόνης
ἀγνοουμένων πάντων
θείας προστάτιδος.

**Τ**ῶν ἀγνοουμένων τὴν ἀρωγόν,
παίδων ἀγεννήτων
τὴν ὑπέρμαχον εὐλαβῶς
καὶ ἐμπεριστάτων
ἀντίληψιν ἑτοίμην,
τὴν μόνην Θεοτόκον
ἐγκωμιάσωμεν.

**Δ**εῦτε ἀγεννήτων παίδων φωνῶν
τῶν ἐπιποθούντων
εἰς ἡλίου τὸ φῶς ἐλθεῖν
ἅπαντας σοὺς δούλους
ἀξίωσον ἀκοῦσαι
τοὺς σὲ ὑμνολογοῦντας,
Θεογεννήτρια.

**Τ**ῶν ἀγνοουμένων πιστῶν, ἁγνή,
εἰς αἰχμαλωσίας
τὰ πεδία ἐπιστροφῆς
δεῖξον τρίβον, Μῆτερ,

καὶ τοὺς ἀποκτανθέντας
ἐν ταῦτα μετ’ Ἁγίων
πάντων ἀνάπαυσον.

**Χ**αῖρέ σοι, Παρθένε, Μῆτερ Θεοῦ,
τῶν ἀγνοουμένων
ἡ προστάτις καὶ ἀρωγὸς
καὶ τῶν ἀγεννήτων
παιδίων ἀντιλήπτωρ,
πιστῶς ἀναβοῶμεν,
κόσμου διάσωσμα.

**Π**ᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

**Ἀ**ρωγὸς καὶ προστάτις, Θεογεννήτρια,
ἀγνοουμένων ἐν μάχαις,
σεισμοῖς, καταποντισμοῖς
καὶ θαλάττης ναυαγίοις, πέλεις, ἄχραντε,
καὶ παίδων ἄγρυπνος φρουρὸς
ἀγεννήτων, ἀγαθή,
βοῶντες τῇ χάριτί σου
σπεύδομεν πάντες ἐν δίναις
τῆς ἁμαρτίας κυλινδούμενοι.

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

**Π**άντας ἐπιστρέφειν ἀβλαβεῖς
τοὺς ἀγνοουμένους εἰς οἴκους
αὐτῶν ταχύ, ἀγαθὴ
Μῆτερ, καταξίωσον,
ὡς προστατεύουσα
ἀκλινῶς τούτους, ἄχραντε,
καὶ σῶσον παιδία

πάντα τὰ ἀγέννητα
ἐκ τῆς ἀμβλώσεως
ὡς αὐτῶν θερμὴ ἀντιλήπτωρ,
Κεχαριτωμένη Παρθένε,
σωτηρίαν δούλων σου ἡ θέλουσα.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Δίστιχον.**

**Ἀγνοουμένους ἐπιστρέφειν σώους, Μῆτερ,
ἀξίωσον ταχὺ Χαραλάμπης ψάλλει.**

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι  Δ Ο Ξ Α**

**Τ Ω  Μ Ο Ν Ω  Α Λ Η Θ Ι Ν Ω**

**Θ Ε Ω  Η Μ Ω Ν**

**Ἀρίθμ. Καταλ. Π. 440 / 12-7-09**